A ἀδείαν, καὶ τὸ τετάχθαι περὶ τὸν βίον ὁμοίως ἔν τε μικροῖς καὶ μεγάλοις. παρέπεται δὲ τῇ σωφροσύνῃ εὐταξία, κοσμιότης, αἰδώς, εὐλάβεια.

Ἐγκρατείας.

Ἐγκρατείας δέ ἐστι, τὸ δύνασθαι κατασχεῖν τῷ λογισμῷ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ φαύλας ἀπολαύσεις καὶ ἡδονάς, καὶ τὸ καρτερεῖν, καὶ τὸ ὑπομονητικὸν εἶναι τῆς κατὰ φύσιν ἐνδείας καὶ λύπης. B

Δικαιοσύνης.

Δικαιοσύνης δέ ἐστι τὸ διανεμητικὸν εἶναι τοῦ κατ' ἀξίαν, καὶ σώζειν τὰ πάτρια ἔθη, καὶ τὰ νόμιμα· καὶ τὸ σώζειν τοὺς γεγραμμένους νόμους, καὶ τὸ ἀληθεύειν ἐν τῷ διαφέροντι, καὶ τὸ διαφυλάττειν τὰς ὁμολογίας. ἔστι δὲ πρώτη τῶν δικαιοσυνῶν πρὸς τοὺς θεούς, εἶτα πρὸς δαίμονας, εἶτα πρὸς πατρίδα καὶ γονεῖς, εἶτα πρὸς τοὺς κατοιχομένους· C ἐν οἷς ἐστιν ἡ εὐσέβεια, ἤτοι μέρος οὖσα δικαιοσύνης, ἢ παρακολουθοῦσα. ἀκολουθεῖ δὲ τῇ δικαιοσύνῃ, καὶ ὁσιότης, καὶ ἀλήθεια, καὶ ἡ πίστις, καὶ ἡ μισοπονηρία.

Ἐλευθεριότητος.

Ἐλευθεριότητος δέ ἐστι, τὸ προετικὸν εἶναι χρημάτων εἰς τὰ ἐπαινετά, καὶ δαψιλῆ, ἐπὶ τῷ εἰς τὰ δέοντα ἀναλωθῆναι· D καὶ τὸ βοηθητικὸν εἶναι ἐν τῷ διαφόρῳ, καὶ τὸ μὴ λαβεῖν ὅθεν μὴ δεῖ. ἔστι δ' ἐλευθέριος καὶ περὶ ἐσθῆτα καθαρός, καὶ περὶ οἴκησιν, καὶ κατασκευαστικὸς τῶν περιττῶν καὶ καλῶν, καὶ διαγωγὴν ἐχόντων ἡδεῖαν ἄνευ τοῦ λυσιτελοῦντος· καὶ θρεπτικὸς τῶν ζώων τῶν ἴδιον ἐχόντων τι ἢ θαυμαστόν. ἀκολουθεῖ δὲ τῇ ἐλευθεριότητι, τοῖς ἤθεσιν ὑγρότης, καὶ εὐαγωγία, καὶ φιλανθρωπία, E καὶ τὸ εἶναι ἐλεητικόν, καὶ φιλόφιλον, καὶ φιλόξενον, καὶ φιλόκαλον.

Μεγαλοψυχίας.

Μεγαλοψυχίας δέ ἐστι, τὸ καλῶς ἐνεγκεῖν καὶ εὐτυχίαν καὶ ἀτυχίαν, καὶ τιμὴν καὶ ἀτιμίαν· καὶ τὸ μὴ θαυμάζειν, μήτε τρυφήν, μήτε θεραπείαν, μήτε ἐξουσίαν, μήτε τὰς νίκας τὰς ἐναγωνίους· ἔχειν δέ τι βάθος τῆς ψυχῆς, καὶ F μέγεθος. ἔστι δὲ μεγαλόψυχος, οὐδ' ὁ τὸ ζῆν περὶ πολλοῦ ποιούμενος, οὐδ' ὁ φιλόζωος. ἁπλοῦς δὲ τῷ ἤθει, καὶ γενναῖος, ἀδικεῖσθαι δυνάμενος, καὶ οὐ τιμωρητικός. ἀκολουθεῖ δὲ τῇ μεγαλοψυχίᾳ, ἁπλότης, καὶ ἀλήθεια.

non magis cùm ampliter, quàm cùm mediocriter ſuppetit, animum, vitámque laxare eſt. Comes ſobrietatis, quædam ordinis conſeruatio, & rerum munditia, & verecundia, & cautio eſt.

Continentiæ.

Continentiæ verò, ratione cupiditatem turpes ad illecebras voluptatéſque cientem compeſcere, & animo aduerſus naturalium rerum defectiones, perturbationéſque conſtanti eſſe, ac durabili.

Iuſtitia.

Iuſtitiæ verò, eius, quod par, dignúmque quoque ſit, qualibet in re rationem habere, & mores, ac inſtituta patria, ſcriptáſque leges conſeruare, veritatem, vbicumque refert, dicere, pactáque cuſtodire. Prima verò iuſtitia eſt, qua Deo: proxima, qua diuis: tertia deinde, qua patriæ, parentibúſque: poſtrema, qua vita iam functis debitum, ſuúmq. cuique officiũ præſtamus. Inter quas, pietas, aut pars iuſtitiæ, aut ipſam conſequens iuſtitiam eſt. Iuſtitiam verò, & ſanctitas, & veritas, & fides, & ipſum prauitatis totius odium cõſequitur.

Liberalitatis.

Liberalitatis eſt, animo tali comparatum eſſe, vt opes ſuas, honeſtas ad res erogare, vtque in expendendo neceſſarias ad res abundare, tum vt ſubſidio ſicubi maximè referat eſſe, contráque vt inde, vnde non decet, minimè accipere velis. Liberalis autem vir, etiam veſtes, ac habitationem mundam amabit: ſæpéque ſuperuacuas, honeſtas modò, ac haud inſuauem oblectationem habentes res, licet ipſi non magno vſui futuras, comparabit: quale eſt, animantia aut iucundum, aut admirabile quippiam præ ſe ferentia alere. Comes huius, quædam in moribus remiſſio, facilitáſque, & humanitas: tum ad miſericordiam, ad amicitiam, ad hoſpitalitatem, ad omnéque præclarum propenſio, & amor eſt.

Magnanimitatis.

Magnanimitatis autem, ſtantem, reſtantémque Fortunam, nomen, & ignominiam præclarè ferre: ac neque voluptatem, neque clientelam, neque poteſtatem, neque victorias eas, quæ certando parantur, mirari: ſed aliquod in animo profundum, ac veluti pondus habere eſt. Eſt autem magnanimus is, qui nec viuere faciat plurimi, nec vitam ipſam vehementer amet, ſed ſimplici quodam animo, generoſóque cùm ſit, ferre iniuriam abſque vindictæ ſtudio poteſt. Comes huius, ſimplicitas eſt, & veritas.